εἰ δ᾽ ὄμμ᾽ ὑπερσχὸν ἴτυος ἅτερος μάθοι,
λόγχην ἐνώμα, στόματι προφθῆναι θέλων.
ἀλλ᾽ εὖ προσῆγον ἀσπίδων κεγχρώμασιν
ὀφθαλμόν, ἀργὸν ὥστε γίγνεσθαι δόρυ.
πλείων δὲ τοῖς ὁρῶσιν ἐστάλασσ᾽ ἱδρὼς
ἢ τοῖσι δρῶσι, διὰ φίλων ὀρρωδίαν.
Ἐτεοκλέης δὲ ποδὶ μεταψαίρων πέτρον
ἴχνους ὑπόδρομον, κῶλον ἐκτὸς ἀσπίδος
τίθησι· Πολυνείκης δ᾽ ἀπήντησεν δορί,
πληγὴν σιδήρῳ παραδοθεῖσαν εἰσιδών,
κνήμης τε διεπέρασεν Ἀργεῖον δόρυ·
στρατὸς δ᾽ ἀνηλάλαξε Δαναϊδῶν ἅπας.
κἀν τῷδε μόχθῳ γυμνὸν ὦμον εἰσιδὼν
ὁ πρόσθε τρωθεὶς στέρνα Πολυνείκους βίᾳ
διῆκε λόγχην, κἀπέδωκεν ἡδονὰς
Κάδμου πολίταις, ἀπὸ δ᾽ ἔθραυσ᾽ ἄκρον δόρυ.
εἰς δ᾽ ἄπορον ἥκων δορὸς ἐπὶ σκέλος πάλιν
χωρεῖ, λαβὼν δ᾽ ἀφῆκε μάρμαρον πέτρον,
μέσον δ᾽ ἄκοντ᾽ ἔθραυσεν· ἐξ ἴσου δ᾽ Ἄρης
ἦν, κάμακος ἀμφοῖν χεῖρ᾽ ἀπεστερημένοιν.
ἔνθεν δὲ κώπας ἁρπάσαντε φασγάνων
εἰς ταὐτὸν ἧκον, συμβαλόντε δ᾽ ἀσπίδας
πολὺν ταραγμὸν ἀμφιβάντ᾽ εἶχον μάχης.
καί πως νοήσας Ἐτεοκλῆς τὸ Θεσσαλὸν
εἰσήγαγεν σόφισμ᾽ ὁμιλίᾳ χθονός.
ἐξαλλαγεὶς γὰρ τοῦ παρεστῶτος πόνου,
λαιὸν μὲν εἰς τοὔπισθεν ἀναφέρει πόδα,
πρόσω τὰ κοῖλα γαστρὸς εὐλαβούμενος,
προβὰς δὲ κῶλον δεξιὸν δι᾽ ὀμφαλοῦ
καθῆκεν ἔγχος σφονδύλοις τ᾽ ἐνήρμοσεν.
ὁμοῦ δὲ κάμψας πλευρὰ καὶ νηδὺν τάλας
σὺν αἱματηραῖς σταγόσι Πολυνείκης πίτνει.

---

1394. κνήμην Bc διεσπάρασσεν bc 1397. βίᾳ om. A 1403. ἀπεστερημένων bc ἀπεστερημένοις ceteri. 1404. ἁρπάσαντε bc ἁρπάσαντες ceteri. 1405. συμβάλλοντε A συμβαλόντε bc συμβαλόντες ceteri. 1409. ἀπαλλαγείς C 1410. ἀμφέρει BF